Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Antipatri episcopi Bostrensium, ex sermone in mulierem quae fluxum sanguinis passa est: cuius initium est.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

Anno Christi 787.

Ἀντιπάτρου ἐπισκόπου Βόστρων, ἐκ τοῦ λόγου τοῦ εἰς τὴν αἱμόρροιαν· οὗ ἡ ἀρχή.

Ὅτι μὲν πρώτη Ἰουδαίων κλῆσις, ἐδίδαξεν ἡ γραφή. καὶ μεθ' ἕτερα.

Ταῦτα τοῦ σωτηρίου κρασπέδου λαβομένη ἔλεγεν ἡ αἱμόρροις, ὡς βασιλέα τῆς φύσεως κρατοῦσα τὸν κύριον, καὶ τοῦ πάθους τὴν τυραννίδα διδάσκουσα. καὶ τυχοῦσα τῆς δωρεᾶς, ἀνδριάντα ἤγειρε τῷ Χριστῷ, τὸν μὲν πλοῦτον ἰατροῖς ἀναλώσασα, τοῦ δὲ πλούτου τὰ λειπόμενα προσενέγκασα τῷ Χριστῷ.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὥστε καὶ εἰκόνα ὁ στηλογραφῶν, τῷ Θεῷ αὐτὴν προσφέρει, ὃν τρόπον καὶ ἡ αἱμόρροις τὸν ἀνδριάντα.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπε· κυρίως εἰπεῖν, κελεύει, καὶ ἀποδέχεται κατὰ πλάτος τοὺς ποιοῦντας εἰκόνας.

Θωμᾶς ὁ εὐλαβέστατος μοναχὸς μονῆς τοῦ Χηνολάκκου εἶπε· βίβλον τοῦ μακαρίου Ἀστερίου ἐπιφέρομαι, καὶ προσφέρω τῇ ἁγίᾳ συνόδῳ· καὶ ὡς κελεύετε.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Καὶ λαβὼν Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Τοῦ μακαρίου Ἀστερίου ἐπισκόπου Ἀμασείας ἔκφρασις εἰς Εὐφημίαν τὴν μάρτυρα.

Πρῴην, ὦ ἄνδρες, Δημοσθένην εἶχον ἐν χερσὶ τὸν δεινόν, καὶ Δημοσθένους ἐκεῖνα, ἔνθα δὴ τὸν Αἰσχίνην πικροῖς βάλλει τοῖς ἐνθυμήμασιν. ἐγχρονίσας δὲ τῷ λόγῳ, καὶ πυκνωθεὶς τὴν διά-

*Antipatri episcopi Bostrensium, ex sermone in mulierem quæ fluxum sanguinis passa est: cuius initium est.*

Quod prior quidem fuerit Iudæorum vocatio, scriptura docuit. Et post alia. Hæc salutari fimbria comprehensa dicebat mulier quæ fluxum sanguinis patiebatur, vt regem naturæ tenens Dominum, & passionis tyrannidem edocens: perceptoque dono, statuam erexit Christo. Et quidem diuitias in medicos expenderat, sed diuitiarum residua obtulit Christo.

Sanctissimus patriarcha dixit: Itaque & imaginem qui depingit, Deo illam offert, quemadmodum & mulier statuam.

Basilius sanctissimus episcopus Ancyræ dixit: Proprie dicere iubet, & recipit amplissime facientes imagines.

Thomas reuerendissimus monachus monasterii Chenolacci dixit: Librum beati Asterii affero, & offero sanctæ Synodo: & vt iubetis.

Sancta Synodus dixit: Legatur.

Et accipiens Constantinus Deo amabilis diaconus & notarius legit.

*Beati Asterii episcopi Amasiæ relatio in Euphemiam martyrem.*

Pridem, o viri, Demosthenem habebam in manibus illum optimum, & Demosthenis illa, vbi Æschinem amaris * immittit cogitationibus. Retardatus vero sermone, & densus in- * Gr. impetit